# *NOTES AND STUDIES*

## THE *HISTORIA MYSTAGOGICA* AND OTHER GREEK COMMENTARIES ON THE BYZANTINE LITURGY.

## II.

39. Περὶ τοῦ Προκειμένου.

Τὸ προκείμενον πάλιν μηνύει τῶν προφητῶν τὴν ἐκφαντορίαν, τὴν προμήνυσιν τῆς παρουσίας τοῦ βασιλέως Χριστοῦ· ὡς στρατιῶται προτρέχοντες καὶ βοῶντες Ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς καὶ Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.

40. Περὶ τοῦ Ἀποστόλου.

Ὁ ἀπόστολος καὶ αὐτόπτης καὶ ὑπουργὸς τοῦ Χριστοῦ βοᾷ κηρύσσων τὴν βασιλείαν τοῦ Χριστοῦ λέγων Χριστὸς παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, ὃν ⟨καὶ⟩ ἔχοντες ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανοὺς κρατῶμεν τῆς ὁμολογίας αὐτοῦ· μεθ' οὗ βοᾷ καὶ Ἰωάννης ὁ βαπτιστὴς Ὁ ὀπίσω μου ἐρχόμενος ἐστὶν ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· αὐτὸς ἡμᾶς ἁγιάσει ἐν πνεύματι ⟨ἁγίῳ⟩ καὶ πυρί· ⟨καὶ⟩ μέσον ὑμῶν ἕστηκε.

41. Τὸ Ἀλληλούϊα τί δηλοῖ.

Τὸ ἀλληλούϊα βοᾷ Δαβὶδ καὶ λέγει Ὁ Θεὸς ἡμῶν ἐμφανῶς ἥξει καὶ πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται καὶ Ἔφαναν αἱ ἀστραπαὶ [τῶν εὐαγγελιστῶν] αὐτοῦ τῇ οἰκουμένῃ· τῇ γὰρ ἑβραΐδι διαλέκτῳ ἐστὶ τὸ ἀλ ἔρχεται καὶ ἐφάνη, τὸ δὲ ἠλ ὁ Θεός, τὸ δὲ οὔια αἰνεῖτε ὑμνεῖτε τὸν ζῶντα Θεόν.

42. Περὶ τοῦ θυμιατοῦ.

Καὶ γὰρ εὐθέως ὁ θυμιατὴρ ὑποδεικνύει τὴν ἀνθρωπότητα Χριστοῦ, τὸ πῦρ τὴν θεότητα, καὶ ὁ εὐώδης καπνὸς μηνύει τὴν εὐωδίαν τοῦ ἁγίου Πνεύματος προπορευομένην· ὁ γὰρ θυμιατὴρ ἑρμηνεύεται [εὐωδία ἢ καὶ] εὐωδεστάτη εὐ-

4. Ps. lxxix 2 5. Ps. xlvi 8 8. Heb. ix 11 9. Heb. iv 14
10. S. Io. i 27, 29 11. S. Mt. iii 11 12. S. Io. i 27 14. Ps. xlix 3
15. Ps. lxxvi 18

2. **προκείμενον**] responsorium **τὴν προμήνυσιν**] et praenuntiationem 3. **ὡς στρατιῶται**] ac similiter (*procul dubio pro* acsi milites) 7. **αὐτόπτης**] inspector 8. **τοῦ Χριστοῦ**] *αὐτοῦ καί* P²: eius et **παραγενόμενος**] *παρεγένετο* P²: aduenit 9. **καὶ**] P²: et 11. **ἁγιάσει**] sanctificauit 12. **ἁγίῳ**] P²: sancto **καὶ**] P²: et **μέσον**] *μέσος* P²: medius 15. **προπορεύσεται**] ardebit (*vulg.* exardescet) **τῶν εὐαγγελιστῶν**] *om.* M¹ **αὐτοῦ**] tuae 17. **τὸν ζῶντα**] *ὄντως ὄντα* P²: uere existentem

φροσύνη. ⟨ἡ πάλιν ἡ γαστὴρ τοῦ θυμιατηρίου νοηθείη ἂν [ἡμῖν] ἡ [ἡγιασμένη] μήτρα τῆς [ἁγίας] παρθένου [καὶ θεοτόκου] φοροῦσα τὸν θεῖον ἄνθρακα Χριστὸν ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς· διὸ καὶ τὴν ὀσμὴν τῆς εὐωδίας ἀναδίδωσιν εὐωδιάζων τὰ σύμπαντα. ἡ πάλιν ἡ γαστὴρ τοῦ θυμιατηρίου δηλοῖ τὴν κολυμβήθραν τοῦ ἁγίου βαπτίσματος, ἐν ἄνθρακι τοῦ θείου πυρὸς τῆς τοῦ ἁγίου Πνεύματος ἐνεργείας τὴν εὐώδη τῆς θείας χάριτος υἱοθεσίαν διὰ τῆς πίστεως ἑαυτῇ εἰσοικίζουσα καὶ δι' αὐτῆς εὐωδιαζομένη.⟩

43. Περὶ τοῦ ἁγίου Εὐαγγελίου.

Τὸ ⟨ἅγιον⟩ εὐαγγέλιόν ἐστιν ἡ παρουσία τοῦ Υἱοῦ τοῦ Θεοῦ καθ' ἣν ὡράθη ἡμῖν, οὐκέτι διὰ νεφελῶν καὶ αἰνιγμάτων λαλῶν ἡμῖν ὡς ποτὲ τῷ Μωϋσῇ διὰ φωνῶν καὶ ἀστραπῶν [καὶ σαλπίγγων καὶ] ἤχων καὶ γνόφῳ καὶ πυρὶ ἐπὶ τοῦ ὄρους, ἢ τοῖς πάλαι προφήταις δι' ἐνυπνίων, ἐμφανῶς δὲ ὡς ἄνθρωπος ἀληθὴς ἐφάνη καὶ ὡράθη ἡμῖν ὁ πραΰς καὶ ἥσυχος βασιλεὺς ὁ [πρὶν] καταβὰς ὡς ὑετὸς ἀψοφητὶ ἐν πόκῳ, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς πλήρης χάριτος καὶ ἀληθείας, δι' οὗ ἐλάλησεν ἡμῖν ὁ Θεὸς καὶ Πατὴρ στόμα πρὸς στόμα καὶ οὐ δι' αἰνιγμάτων· περὶ οὗ ὁ Πατὴρ [ἐξ οὐρανοῦ] μαρτυρεῖ καὶ λέγει Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, **Σοφία** ⟨καὶ⟩ Λόγος καὶ Δύναμις, ὁ ἐν προφήταις μὲν προκηρυχθεὶς ἡμῖν, ἐν εὐαγγελίοις δὲ φανερωθείς, ἵνα ὅσοι λάβωσιν αὐτὸν καὶ πιστεύσωσιν εἰς τὸ ὄνομα αὐτοῦ λάβωσιν ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. ὃν ἀκηκόαμεν καὶ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, Σοφίαν καὶ Λόγον [Θεοῦ] τοῦτον εἶναι πάντες [⟨πιστεύοντες⟩] βοῶμεν Δόξα σοι Κύριε. εἶτα πάλιν τὸ ἅγιον Πνεῦμα βοᾷ ἐν νεφέλῃ φωτεινῇ ἐπισκιάζον, νῦν διὰ οὐρανοῦ (?) βοᾷ [Προσέχετε·] αὐτοῦ ἀκούετε.

44. Τέσσαρα δὲ εἰσὶν εὐαγγέλια ἐπειδὴ τέσσαρα καθολικὰ πνεύματά εἰσι κατὰ τὰ τετράμορφα ζῷα ἐν οἷς κάθηται ὁ τῶν ὅλων Θεός· ἐξ ὧν φαίνεται ὅτι ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ Θεὸς καὶ συνέχων τὰ σύμπαντα φανερωθεὶς ἔδωκεν ἡμῖν τετράμορφον τὸ εὐαγγέλιον ἑνὶ δὲ Πνεύματι συνεχόμενον. καὶ γὰρ τετραπρόσωπά εἰσι καὶ τὰ πρόσωπα αὐτῶν εἰκονίζουσι τὴν πραγματείαν τοῦ Υἱοῦ τοῦ Θεοῦ· τὸ μὲν γὰρ πρῶτον ὅμοιον λέοντος, τὸ ἔμπρακτον αὐτοῦ καὶ ἡγεμονικὸν καὶ βασιλικὸν χαρακτηρίζον· τὸ δεύτερον ὅμοιον μόσχου, τὴν ἱερουργικὴν καὶ ἱεραρχικὴν τάξιν ἐμφαῖνον· τὸ δὲ τρίτον ἔχον πρόσωπον ἀνθρώπου,

3. Col. ii 9  10. Num. xii 8  11. Heb. xii 18 sq.  13. S. Mt. xxi 5 (Zach. ix 9); Ps. lxxi 6  14. S. Io. i 14  15. Heb. i 2  16. Num. xii 8  17. S. Mt. iii 17; *Lit. Byz.* (*Litt. E. & W.* p. 372)  19. S. Io. i 12  20. 1 Io. i 12  21. *Lit. Byz.*  22. S. Mt. xvii 5  24. sqq. S. Iren. *Haer.* iii 11 § 8  26. Ps. lxxix 2; Sap. i 7  29 sqq. Apoc. iv 7

1–7. ἡ πάλιν . . εὐωδιαζομένη] P²: uel rursus . . diffundens  4. ἀναδίδωσιν] ex se reddit  6. τῆς . . ἐνεργείας] cooperationem sancti Spiritus  εὐώδη] suauissimam  7. δι' αὐτῆς] a se  9. ἅγιον] P²: sanctum  11. ἤχων] *ἤχῳ* P²: in sonitu  12. ἢ] uel sicut  ἐμφανῶς δὲ] *ἀλλ' ἐμφανῶς* P²: sed manifeste  13. ὁ] qui et  15. πλήρης] pleni  17. καὶ] P²: et  18. φανερωθείς] manifestatur  20. ὃν] et quia  21. πιστεύοντες] M (*pro* πάντες) Γ  22. ἐν] qui in  23. οὐρανοῦ] *ἀνθρώπου* P²: hominem  25. ἐξ] et ex  28. τὴν πραγματείαν] unam operationem  31. ἱερουργικὴν] sacram operationem  ἱεραρχικὴν] *Iren.* sacerdotalem : *Anastas.* *ἱερατικήν* : hieraticum

τὴν κατὰ ἄνθρωπον αὐτοῦ παρουσίαν φανερῶς διαγράφον· τὸ ⟨δὲ⟩ τέταρτον ὅμοιον ἀετῷ πετομένῳ, τὴν τοῦ ἁγίου Πνεύματος ἐφιπταμένην δόσιν σαφηνίζον. καὶ τὰ εὐαγγέλια τούτοις σύμμορφά εἰσιν, ἐν οἷς κάθηται ὁ Χριστός· τὸ μὲν γὰρ κατὰ Ἰωάννην εὐαγγέλιον τὴν ἀπὸ τοῦ Πατρὸς ἡγεμονικὴν ⟨αὐτοῦ⟩ ⟨καὶ ἔμπρακτον⟩ καὶ ἔνδοξον γέννησιν διηγεῖται ⟨γράφον τὸ⟩ Ἐν ἀρχῇ ἦν ὁ Λόγος· τὸ δὲ κατὰ Λουκᾶν ἅτε ἱερατικοῦ χαρακτῆρος ὑπάρχον ἀπὸ τοῦ Ζαχαρίου ⟨τοῦ ἀρχ⟩ιερέως θυμιῶντος ἄρχεται· Ματθαῖος δὲ τὴν κατὰ ἄνθρωπον αὐτοῦ γέννησιν διηγεῖται ⟨λέγων⟩ Βίβλος γενέσεως, ἀνθρωπόμορφον οὖν τὸ εὐαγγέλιον τοῦτο· Μάρκος ⟨δὲ⟩ ἀπὸ τοῦ προφητικοῦ Πνεύματος τοῦ ἐξ ὕψους ἐπιόντος τοῖς ἀνθρώποις τὴν ἀρχὴν ἐποιήσατο λέγων Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ· ὡς γέγραπται ἐν τοῖς προφήταις Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, τὴν πτερωτικὴν εἰκόνα τοῦ εὐαγγελίου διὰ τούτων δεικνύς.

45. Τὸ κατασφραγίσαι τὸν ἀρχιερέα τὸν λαὸν ὑποδεικνύει τὴν μέλλουσαν ⟨Χριστοῦ⟩ παρουσίαν ἐν τῷ ἑξακισχιλιοστῷ ⟨πεντηκοσιοστῷ⟩ ἔτει μέλλειν ἔσεσθαι διὰ τῆς ψηφῖδος τῶν δακτύλων ἐμφαινούσης ἑξακισχιλιοστὸν πεντακοσιοστόν.

46. Περὶ τῶν Κατηχουμένων.

Οἱ κατηχούμενοι ἐξέρχονται ὡς ἀμύητοι τοῦ θείου βαπτίσματος καὶ τῶν τοῦ Χριστοῦ μυστηρίων· περὶ ὧν λέγει ὁ Κύριος ὅτι Καὶ ἄλλα πρόβατα ἔχω κἀκεῖνά με δεῖ ἀγαγεῖν καὶ τῆς φωνῆς μου ἀκούσουσιν ⟨καὶ γενήσονται μία ποίμνη, εἷς ποιμήν.⟩

47. Τί σημαίνει τὸ Εἰλητόν.

Τὸ εἰλητὸν σημαίνει τὴν σινδόνα ἐν ᾗ ἐνειλίχθη τὸ σῶμα τοῦ Χριστοῦ ⟨ὑπὸ Ἰωσὴφ καὶ Νικοδήμου⟩ ἐκ τοῦ σταυροῦ καταβὰν καὶ ἐν μνημείῳ τεθέν.

48. Περὶ τῆς Προσκομιδῆς.

Ἡ προσκομιδὴ ἡ γενομένη ἐν τῷ σκευοφυλακίῳ ἐμφαίνει τὸν Κρανίου τόπον ἐν ᾧ ἐσταυρώθη ὁ Χριστός· δεικνύοντος ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον ὅπου ἐσταυρώθη.

5. S. Io. i 1    6. Cp. S. Lc. i 9    8. S. Mt. i 1    10. S. Mc. i 1 sq.    19. S. Io. x 16    23. S. Mc. xv 46    26. S. Io. xix 17    27. S. Io. xix 42, 41

1. δὲ] $P^2$ : porro    2. τὴν τοῦ . . . σαφηνίζον] sancti Spiritus pedibus (*ποσὶν pro δόσιν?*) uolantem praedicationem edisserens    3. τὸ μὲν γὰρ] denique    4. αὐτοῦ] $P^2$ : eius    καὶ ἔμπρακτον] *Iren.* : *καὶ πατρικὴν* $P^2$ : et actualem (*Iren.* et efficabilem) 5. γράφον τὸ] $P^2$ : dicens (*Iren.* dicens sic : *Anastas.* *λέγον*)    6. τοῦ ἀρχιερέως] $P^2$ : summo sacerdote (*Iren.* sacerdote : *Anastas.* *τοῦ ἱερέως*)    8. λέγων] *Iren.* dicens : *Anastas.* *λέγων* : dicens    9. δὲ] $P^2$ : porro (*Iren.* uero : *Anastas.* *δέ*)    13. *tit.* de hoc quod summus sacerdos populum signat    14. Χριστοῦ] $P^2$ : Christi    παρουσίαν] secundum aduentum    πεντηκοσιοστῷ] $P^2$ : quingentesimo    15. ἐμφαινούσης] ostendens    19. κἀκεῖνα . . . ἀκούσουσιν] *om.* $P^2$    20. καὶ γενήσονται . . . ποιμήν] *καὶ τὰ ἑξῆς* $P^1$ $P^2$    22. de uelamine    24. ὑπὸ Ἰωσ. καὶ Νικοδ.] *Ioan. Ieiun.* : a Iosepho et Nicodemo    καταβὰν] *καταβιβασθεὶς* K : depositum    25. de praeparatione sacrae oblationis    26. γενομένη] *γινομένη* $P^2$ : quae fit    σκευοφυλακίῳ] uasorum custodiario

[*Τίνος προτύπωσιν ἔχον.*]

*Προετυπώθη δὲ ὁ τοῦ* Κρανίου τόπος *οὗτος ἐν τῷ Ἀβραὰμ ὅτε* ἐφ᾽ ἑνὶ τῶν ὀρέων *ἐκείνων τοῦ Θεοῦ κελεύσαντος* τὸ θυσιαστήριον [*ἐκ λίθων*] *ἐποίησεν* καὶ *ἐστίβασε τὰ* ξύλα ⟨*καὶ* ἔθηκε⟩ τὸν υἱὸν καὶ ἀνήνεγκε κριὸν [ἀντ᾽ *αὐτοῦ*] εἰς ὁλοκάρπωσιν· *οὕτως ὁ Θεὸς καὶ Πατὴρ ὁ ἄναρχος καὶ* παλαιὸς *τῶν αἰωνίων* ἡμερῶν *τὸν ἄναρχον αὐτοῦ Υἱὸν* ⟨*εὐδόκησεν*⟩ ἐπ᾽ ἐσχάτων τῶν χρόνων *σαρκωθῆναι ἐξ ἀχράντου παρθένου καὶ θεοτόκου* ἐκ τῆς ὀσφύος Ἀβραὰμ *κατ᾽ ἐπαγγελίαν ὅρκου ὃν ἔθηκε πρὸς αὐτὸν ὥστε ὑπὲρ γένους ἀνθρώπων* οὐκ ἐφείσατο τοῦ Υἱοῦ *αὐτοῦ τοῦ ἀγαπητοῦ καὶ μονογενοῦς* ἀλλ᾽ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν· *καὶ* ἔπαθε *μὲν ὡς ἄνθρωπος* ⟨*ἐν*⟩ *τῇ* σαρκὶ *ἀλλ᾽ ἔμεινεν ἀπαθὴς τῇ θεότητι· καὶ γὰρ ὁ Χριστὸς ἀπερχόμενος ἐν τῷ σταυρῷ* [*αὐτοῦ*] τὸν σταυρὸν αὐτοῦ ἐβάσταζε, *καὶ ἀντὶ κριοῦ ἐτύθη τὸ σῶμα αὐτοῦ ἄμωμον ὡς ἀμνὸς σφαττόμενος τῇ λόγχῃ τὴν πλευρὰν αὐτοῦ καὶ ἀρχιερεὺς γενόμενος ὡς υἱὸς ἀνθρώπου καὶ* **προσφέρων** *ἑαυτὸν* **καὶ προσφερόμενος** εἰς τὸ ἀνενέγκαι ἁμαρτίας πολλῶν *καὶ τέθνηκε μὲν ὡς ἄνθρωπος ἀνέστη δὲ ὡς Θεὸς δι᾽* ἣν εἶχε *ὑπερκόσμιον* δόξαν παρὰ *τῷ Θεῷ καὶ Πατρί.*

49. Περὶ τοῦ Χερουβικοῦ Ὕμνου.

*Ὁ χερουβικὸς ὕμνος ἐμφαίνει διὰ τῆς τῶν διακόνων προοδοποιήσεως καὶ τῆς τῶν ῥιπιδίων σεραφικῶν ἀπεικονισμάτων ἱστορίας* τὴν εἴσοδον τῶν ἁγίων *καὶ δικαίων ἁπάντων συνεισερχομένων μετὰ τοῦ ἁγίου τῶν ἁγίων ὑπάρχοντος· συνεισπορευομένων καὶ προπορευομένων ἔμπροσθεν τῶν χερουβικῶν δυνάμεων καὶ ἀγγελικῶν στρατιῶν καὶ ἀσωμάτων χορῶν,* ⟨*καὶ*⟩ *ἀΰλων τάξεων ἀοράτως προτρεχουσῶν καὶ ὑμνουσῶν καὶ δορυφορουσῶν ἔμπροσθεν τοῦ μεγάλου βασιλέως Χριστοῦ προερχομένου εἰς μυστικὴν θυσίαν ὑπὸ χειρῶν ἐνύλων βασταζομένου· μεθ᾽ ὧν τὸ Πνεῦμα τὸ ἅγιον συνεισπορεύεται ἔμπροσθεν ἐν τῇ ἀναιμάκτῳ καὶ λειτουργικῇ θυσίᾳ νοερῶς θεωρούμενον* πυρὶ *καὶ θυμιάματι* καὶ ἀτμίδι καπνοῦ *εὐώδους,* ⟨*τῷ μὲν πυρὶ δεικνῦον τὴν θεότητα, τῇ*

2–5. Gen. xxii 2, 9, 13  5. Dan. vii 9  6. 1 Pet. i 20  7. Heb. vii 5  8. Rom. viii 32  10. 1 Pet. iv 1  11. S. Io. xix 17  14. *Lit. Byz.* (*Litt. E. & W.* 318. 34); Heb. ix 28 (Isa. liii 11)  15. S. Io. xvii 5  19. Heb. x 19  26. Act. ii 19 (Ioel ii 3)

2. **ὁ τοῦ Κρανίου τόπος**] *ὁ Κράνιος* P²: et Caluaria  **ἐν**] etiam in  3. **κελεύσαντος**] *κελεύοντος* P²: iubente  4. **καὶ ἔθηκε**] Γ: et imposuit: *καὶ ἤνεγκεν* P²  6. **ἄναρχον**] *συνάναρχον* P²: coaeuum  **εὐδόκησεν**] P²: uoluit  7. **παρθένου καὶ θεοτόκου**] *καὶ θεοτόκου παρθένου* P²: et uirgine Dei genetrice  10. **ἐν**] Γ: in  11. **αὐτοῦ**] *om.* P²  12. **ἄμωμον**] *τὸ ἄμωμον* P²  **ὡς ἀμνὸς . . . πλευρὰν αὐτοῦ**] et ut agnus occisus est in latere lanceatus  14. **καὶ προσφέρων . . . προσφερόμενος**] semetipsum obtulit et oblatus est  15. **ὑπερκόσμιον**] *προκόσμιον* P²: priusquam mundus fieret  17. de hymno cherubim  18. **διὰ τῆς . . . ἱστορίας**] per diaconorum praecedentium uiamque facientium flabellorumque seraphicarum imaginationum contemplationem  20. **συνεισερχομένων**] qui intraturi et mansuri sunt  21. **ἔμπροσθεν . . . δυνάμεων**] et ante cherubicas uirtutes  22. **καί**] Γ: et  **ἀοράτως**] uisibiliter quodammodo  24. **βασιλέως**] regem omnium  25. **συνεισπορεύεται ἔμπροσθεν**] antecedit  26. **λειτουργικῇ**] rationali (λογικῇ)  27. **τῷ μὲν . . . καπνοῦ**] *τὸ μὲν πῦρ δεικνῦον τὴν θεότητα, ἡ δὲ ἀτμὶς τοῦ εὐώδους καπνοῦ* P²: igne quidem ostendens diuinitatem, uapore uero odoriferi fumi

δὲ ἀτμίδι τοῦ εὐώδους καπνοῦ〉 τὴν παρουσίαν αὐτοῦ ἐπελθόντος ἀοράτως καὶ εὐωδιάσαντος ἡμᾶς διὰ τῆς μυστικῆς καὶ ζωοθύτου καὶ ἀναιμάκτου λατρείας καὶ ὁλοκαρπώσεως τῆς διὰ σταυροῦ καὶ θανάτου τοῦ Χριστοῦ τελεσιουργουμένης αὐτοῦ οἰκονομίας. λοιπὸν δὲ καὶ τὴν κατὰ τοῦ θανάτου [νίκην] γενομένην [καὶ τὴν] ἐν τῷ ᾅδῃ κάθοδον καὶ ἀνάβασιν αὐτοῦ καὶ ἀνάστασιν τριήμερον ὁρῶσαι αἱ νοεραὶ δυνάμεις καὶ χοροστασίαι τῶν ἀγγέλων σὺν ἡμῖν ἀοράτως βοῶσι τὸν ὕμνον τὸ Ἀλληλούϊα.

50. [Καὶ ἄλλως.]

Ἔστι δὲ καὶ κατὰ μίμησιν τοῦ ἐνταφιασμοῦ τοῦ Χριστοῦ καθ' ἣν ὁ Ἰωσὴφ καθελὼν τὸ σῶμα ἀπὸ τοῦ σταυροῦ ἐνείλησε σινδόνι [καθαρᾷ] καὶ ἀρώμασι καὶ μύροις αὐτὸ ἀλείψας ἐβάστασε σὺν Νικοδήμῳ καὶ ἐκήδευσεν αὐτὸ ἐν μνημείῳ καινῷ λελατομημένῳ ἐκ πετρᾶς, ὅπερ ἐστὶν ἀντίτυπον τοῦ ἁγίου μνήματος ἐκείνου τὸ θυσιαστήριον καὶ τὸ καταθέσιον ἐν ᾧ ἐτέθη τὸ ἅγιον καὶ πανάχραντον σῶμα, ἡ ἁγία τράπεζα.

52. Ὁ Δίσκος ἐστὶν ἀντὶ τῶν χειρῶν Ἰωσὴφ καὶ Νικοδήμου τῶν κηδευσάντων τὸν Χριστόν· ἑρμηνεύεται δὲ ἔνθα ἐπιφαίνεται ὁ Χριστός, κύκλον οὐρανοῦ ἐμφαίνων ἐν μικρᾷ περιγραφῇ, τὸν νοητὸν ἥλιον Χριστὸν ὁρῶν ἐν τῷ ἄρτῳ ὁρώμενον.

53. Τὸ Ποτήριον τίνος ἔχει τύπον.

Τὸ ποτήριόν ἐστιν ἀντὶ τοῦ σκεύους οὗ ἐδέξαντο τὸ ἐκβλυσθὲν τῆς αἱμαχθείσης ἀχράντου πλευρᾶς καὶ χειρῶν καὶ ποδῶν τοῦ Χριστοῦ ἀπομύρισμα. ἔστι δὲ πάλιν τὸ ποτήριον κατὰ τὸν κρατῆρα ὃν γράφει Κύριος ἤτοι ἡ Σοφία καὶ ὁ Υἱὸς τοῦ Θεοῦ Ἐκέρασε τὸ ἑαυτοῦ αἷμα ἀντὶ τοῦ οἴνου ἐκείνου καὶ προέθηκε ἐν τῇ αὐτοῦ ἁγίᾳ τραπέζῃ λέγων τοῖς πᾶσι Πίετε τὸ αἷμά μου ἀντὶ τοῦ οἴνου κεκερασμένον ὑμῖν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

51. Περὶ τοῦ Δισκοκαλύμματος.

Τὸ δισκοκάλυμμά ἐστιν ἀντὶ τοῦ σουδαρίου ὃ ἦν ἐπὶ τῆς κεφαλῆς 〈καὶ〉 τοῦ προσώπου περικαλύπτον αὐτὸν ἐν τῷ τάφῳ.

7. *Litt. E. & W.* 379. 7 10. S. Mc. xv 46, S. Mt. xxvii 59 11. Cp. S. Io. xix 39 sq. 12. S. Mt. xxvii 60, S. Mc. xv 46 22. Prov. ix 1 sq. 24. S. Mt. xxvi 28, *Litt. E. & W.* 394. 22 28. S. Io. xx 7

2. **διὰ . . . ζωοθύτου**] per mysticam et uiuam hostiam 3. **ὁλοκαρπώσεως . . . οἰκονομίας**] holocaustum quod in dispensatione crucis et mortis effectum et consummatum est Christi 9. *tit.* de sacerdotibus et diaconibus portantibus sanctam patenam 13. **τὸ καταθέσιον**] repositorium 14. **ἡ ἁγία τράπεζα**] *scriptum modo tituli* $P^1$ $P^2$ : in sancta mensa 15. *tit.* de disco 16. **ἑρμηνεύεται δὲ**] item discus interpretatur **ἐπιφαίνεται**] *ἐπιφέρεται* $P^2$ : portatur 17. **ὁρῶν**] *χωρῶν* $P^2$ : capiens 19. de calice 20. **οὗ ἐδέξαντο**] *ὃ ἐδέξατο* $M^1$ : quod suscepit 21. **ἀπομύρισμα**] sanctae diligentiae susceptionem 22. **ὃν γράφει**] ubi secundum quod scriptum est **Κύριος . . . Θεοῦ**] sapientia id est filius Dei 23. **ἐκείνου καὶ προέθηκε**] illic etiam addidit (*ἐκεῖ καὶ προσέθηκε*) 27. de disci, id est patenae, cooperimento 28. **καὶ**] $P^2$ : et 29. **ἐν**] tanquam in

54$^{a}$. Ὁ Ἀὴρ τί δηλοῖ.

Τὸ *καταπέτασμα ἤτουν ὁ ἀήρ ἐστι καὶ λέγεται ἀντὶ τοῦ λίθου οὗ* ἠσφάλισε *τὸ μνημεῖον Ἰωσὴφ ὅνπερ καὶ* ἐσφράγισεν *ἡ Πιλάτου* κουστωδία.

55. ⟨Ὁ δὲ πᾶσι προσφωνούμενος πνευματικὸς Ἀσπασμὸς τὴν ἐσομένην πάντων πρὸς ἀλλήλους ἐν τῷ καιρῷ τῆς τῶν μελλόντων [ἀρρήτων] ἀγαθῶν ἀποκαλύψεως κατὰ πίστιν τε καὶ ἀγάπην ὁμόνοιάν τε καὶ ὁμογνωμοσύνην καὶ ταυτότητα λογικήν, δι' ἣν τὴν πρὸς τὸν Λόγον καὶ Θεὸν οἰκείωσιν οἱ ἄξιοι δέχονται, προτυποῖ καὶ προδιαγράφει. λόγου γὰρ σύμβολον τὸ στόμα καθ' ὃν μάλιστα πᾶσιν ἅπαντες οἱ λόγου μετειληφότες ὡς λογικοὶ καὶ τῷ πρώτῳ καὶ μόνῳ Λόγῳ καὶ παντὸς αἰτίῳ λόγου συμφύονται.⟩

56. ⟨Ἡ δὲ . . . γινομένη Κλεῖσις τῶν θυρῶν τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας τήν τε τῶν ὑλικῶν δηλοῖ πάροδον καὶ τὴν γενησομένην μετὰ τὸν φοβερὸν ἐκεῖνον ἀφορισμὸν καὶ τὴν φοβερωτέραν ψῆφον εἰς τὸν νοητὸν κόσμον ἤτοι τὸν νυμφῶνα τοῦ Χριστοῦ τῶν ἀξίων εἴσοδον καὶ τὴν ἐν ταῖς αἰσθήσεσι τῆς κατὰ τὴν ἀπάτην ἐνεργείας τελείαν ἀποβολήν.⟩

57. ⟨Ἡ δὲ τοῦ θείου Συμβόλου τῆς πίστεως γινομένη παρὰ πάντων ὁμολογία τὴν ἐφ' οἷς ἐσώθημεν παραδόξοις λόγοις τε καὶ τρόποις τῆς πανσόφου περὶ ἡμᾶς τοῦ Θεοῦ προνοίας γενησομένην μυστικὴν εὐχαριστίαν κατὰ τὸν αἰῶνα τὸν μέλλοντα προσημαίνει· δι' ἧς εὐγνώμονας ἐπὶ τῇ θείᾳ εὐεργεσίᾳ ἑαυτοὺς συνιστῶσιν οἱ ἄξιοι· πλὴν ταύτης τῶν περὶ αὐτοὺς ἀπείρων θείων ἀγαθῶν ἀντεισαγαγεῖν ἄλλο τι καθ' ὁτιοῦν οὐκ ἔχοντες.⟩

58. *Ἰδοὺ ἐσταύρωται ὁ Χριστός, τέθαπται ἡ ζωή, ἠσφαλίσθη ὁ τάφος, ἐσφραγίσθη ὁ λίθος· πρόσεισιν ὁ ἱερεύς,* ⟨*συνεισέρχεται ταῖς ἀγγελικαῖς δυνάμεσιν*⟩*· οὐκέτι ὡς* ⟨*ἐν*⟩ *ἐπιγείῳ τόπῳ ἑστὼς ἀλλ' ὡς ἐν τῷ οὐρανίῳ θυσιαστηρίῳ ἔμπροσθεν τοῦ φοβεροῦ θρόνου τοῦ Θεοῦ παριστάμενος, θεωρεῖ* τὸ *μέγα καὶ ἀνερμήνευτον καὶ ἀνεξιχνίαστον* τοῦ Χριστοῦ μυστήριον. *ὁμολογεῖ τὴν χάριν, κηρύττει τὴν ἀνάστασιν, σφραγίζει τὴν πίστιν τῆς* ⟨*ἁγίας*⟩ Τριάδος, *πρόσεισιν λευχειμονῶν ὁ ἄγγελος ἐν* τῷ λίθῳ *τοῦ τάφου,* ἀποκυλίων *τῇ χειρί, δεικνύων τῷ σχήματι, βοῶν τῇ φωνῇ, ἐντρόμως διὰ τοῦ διακόνου κηρύττων τὴν τριήμερον ἔγερσιν, ὑψῶν τὸ καταπέτασμα καὶ λέγων* Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου, *ἰδοὺ πρώτη ἡμέρα·* [*καὶ*] πρόσχωμεν τῇ ἁγίᾳ ἀναφορᾷ, *ἰδοὺ δευτέρα ἡμέρα·* ἐν εἰρήνῃ προσφέρειν, *ἰδοὺ τρίτη ἡμέρα. ὁ λαὸς βοᾷ τὴν*

2. S. Mt. xxvii 66   4–10. S. Maximus *Mystag.* 17   11–15. *ib.* 15   16–21. *ib.* 18   26. Eph. v 32, iii 4   28. S. Mt. xxviii 2   30–32. *Litt. E. & W.* 321

1. de uelo   3. ὅνπερ] *ὅπερ* $P^2$: quod   4. *tit.* cuius sit symbolum diuinum osculum ex sancti Maximi dictis   11. *tit.* cuius symbolum sit obseratio ostiorum: eiusdem   15. ἀποβολήν] + *τε καὶ ἄρνησιν* $M^1$: et abnegationem   16. *tit.* quid innuat diuinum fidei symbolum: eiusdem   22. *tit.* qualis debeat esse sacerdos sancto assistens altari   ἠσφαλίσθη . . . ἐσφραγίσθη] *ἠσφάλισται . . . ἐσφράγισται* $P^2$   23. συνεισέρχεται . . . δυνάμεσιν] $P^2$: conuenit cum angelicis virtutibus: *συνέρχεται* $M^1$   24. ἐν] $P^2$: in   ὡς ἐν τῷ οὐρανίῳ] *ὡς ἐπουρανίῳ* $P^2$: et tanquam supercaelesti   27. ἁγίας] $P^2$: sanctae   28. ἀποκυλίων] *ἀποκυλίει* $P^2$: reuoluit   29. δεικνύων] ostendit   ἐντρόμως] *ἔντρομος* $P^2$: perterritus   31. καὶ] *om.* $P^2$

τῆς ἀναστάσεως Χριστοῦ χάριν, **Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως**· ὁ ἱερεὺς τὸν λαὸν διδάσκει, τὴν ⟨διὰ⟩ τῆς χάριτος τοῦ Χριστοῦ μεμαθηκὼς τριαδικὴν θεογνωσίαν, **Ἡ χάρις τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος μετὰ πάντων ὑμῶν**· ὁ λαὸς συνομολογεῖ καὶ συνεύχεται καὶ λέγει **Καὶ μετὰ τοῦ πνεύματός σου.** εἶτα πάντας ὁ ἱερεὺς ἀναβιβάζων εἰς τὴν [ἄνω] Ἱερουσαλὴμ τὴν ἐπουράνιον, ἐν ᾗ ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ, εἰς τὸ ὄρος τὸ ἅγιον αὐτοῦ, [καὶ] βοᾷ **Βλέπετε· ἄνω σχῶμεν τὰς καρδίας**· οἱ πάντες διαμαρτύρονται λέγοντες **Ἔχομεν πρὸς τὸν Κύριον**· ὁ ἱερεὺς **Εὐχαριστήσωμεν τῷ Κυρίῳ**· ⟨ὁ λαὸς συντίθεται λέγων **Ἄξιον καὶ δίκαιον** εὐχαριστηρίους ὕμνους ἀναπέμποντας τῇ ἁγίᾳ Τριάδι ἄνω ἔχειν τὸ τῆς ψυχῆς ὄμμα ζητοῦντας τὴν κατοικὴν τῆς ἄνω Ἱερουσαλήμ⟩.

54[b]. [Περὶ τοῦ Καταπετάσματος.]

Τὸ καταπέτασμα λέγεται διὰ τὸν λέγοντα ἀπόστολον [ὅτι] Ἔχομεν παρρησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ Χριστοῦ ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος τουτέστι τῆς σαρκὸς αὐτοῦ, καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ.

59. Εἶτα πρόσεισιν ὁ ἱερεὺς μετὰ παρρησίας τῷ θρόνῳ ⟨τῆς χάριτος⟩ τοῦ Θεοῦ μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως ἀπαγγέλλων τῷ Θεῷ καὶ λαλῶν οὐκέτι διὰ νεφέλης ὡς ποτὲ Μωϋσῆς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου ἀλλὰ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτεύων, [καὶ] μεμύηται τὴν τῆς ἁγίας Τριάδος θεογνωσίαν καὶ πίστιν, καὶ μόνος μόνῳ προσλαλεῖ Θεῷ, μυστήρια ἀπαγγέλλων ἐν μυστηρίῳ τὰ κεκρυμμένα πρὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ φανερωθέντα ἡμῖν διὰ τῆς ἐπιφανείας τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἅπερ ἡμῖν ἐξηγήσατο ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός. καθὼς γὰρ ἐλάλησεν ὁ Θεὸς τῷ Μωϋσεῖ ἀοράτως καὶ ὁ Μωϋσῆς πρὸς τὸν Θεόν, οὕτως καὶ ὁ ἱερεὺς μέσον τῶν δύο χερουβὶμ ἑστὼς ἐν τῷ ἱλαστηρίῳ καὶ κατακύπτων διὰ τὴν ἄστεκτον καὶ ἀθεώρητον τῆς θεότητος δόξαν τε καὶ λαμπρότητα τὴν οὐράνιον λατρείαν νοερῶς ὁρᾷ καὶ μυεῖται, καὶ τῆς ζωαρχικῆς ὑπερουσίου Τριάδος τὴν [θείαν] ἔλλαμψιν, τοῦ μὲν Θεοῦ καὶ Πατρὸς τὸ ἄναρχον καὶ ἀγέννητον, τοῦ δὲ Υἱοῦ καὶ Λόγου τὸ συνάναρχον καὶ ὁμοούσιον καὶ γεννητόν, τοῦ δὲ ἁγίου Πνεύματος τὸ συναΐδιον

1–9. *Litt. E. & W.* 321 5. Gal. iv 25, Heb. xii 22 6. Ps. cxxi 2, Zach. viii 3 13. Heb. x 19–21 17. Heb. iv 16 18. Heb. x 22 19. Ex. xl 22 20. 2 Cor. iii 18 22. Col. i 26 23. 2 Tim. i 10 24. S. Io. i 18

2. τὴν διὰ . . . θεογνωσίαν] ἣν διὰ . . . μεμάθηκε . . . θεογνωσίαν Γ : trinam Dei cognitionem quam per Christi gratiam didicit διὰ] P[2] : per 5. ἄνω] *om.* Γ 6. σου] Dei 9. ὁ λαὸς . . . Ἱερουσαλήμ] M[1] : populus pollicetur . . . Hierusalem 13–16. *In lat. hoc legitur post. cap.* 54 a 13. τὸ καταπέτασμα] rursusque uelum 17. *tit.* de his quae mystice celebrantur a sacerdote εἶτα] deinde post haec τῆς χάριτος] P[2] : gratiae 19. λαλῶν] συλλαλῶν P[2] : colloquens 20. καὶ] *om.* P[2] 25. ἐλάλησεν] ἐλάλει P[2] : loquebatur 26. μέσον τῶν] medius inter 28. δόξαν] gloriam *cod. Par.* : gratiam *cod. Cam.* 29. ὑπερουσίου] et supersubstantialis ἔλλαμψιν] splendorem contemplans

καὶ ὁμοφυὲς καὶ ἐκπορευτόν, Τριάδα ἁγίαν κατὰ τὴν τῶν ὑποστάσεων ἤτουν προσώπων ἀσύγχυτον ἀϊδιότητα, κατὰ δὲ τὴν τῆς φύσεως ἕνωσιν ἀδιαίρετον καὶ ἀδιάσπαστον θεότητα καὶ βασιλείαν καὶ δόξαν, καὶ νοερῶς ὁρᾷ καὶ βοᾷ τὴν τῶν σεραφικῶν δυνάμεων τρισάγιον δοξολογίαν, τὰ μὲν χερουβὶμ ⟨ἐπισκιάζοντα, τὰ δὲ σεραφὶμ⟩ κεκραγότα· μεθ' ὧν βοᾷ ⟨**τὸν ἐπινίκιον ὕμνον** ᾀδόντων. εἶτα ὁ λαὸς ἀντὶ τῶν χερουβικῶν καὶ τετραμόρφων ζώων βοᾷ⟩ **Ἅγιος ἅγιος ἅγιος Κύριος σαβαώθ**, τουτέστιν ὁ τρισάγιος καὶ εἷς Θεὸς τῶν δυνάμεων· **ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.** [τὸ ὡσαννά ἐστι σῶσον δή· ὡς φῶς ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.]

60. Περὶ τῶν Ῥιπιδίων καὶ τῶν διακόνων.

Τὰ δὲ ῥιπίδια καὶ οἱ διάκονοι ἐμφαίνουσι τὰ ἑξαπτέρυγα σεραφὶμ καὶ τὴν τῶν πολυομμάτων χερουβὶμ περιφέρειαν· καὶ γὰρ κατὰ τὴν τῶν ἐπουρανίων ⟨καὶ⟩ ὑπερκοσμίων ἱερὰν [ὄντως] τάξιν οὕτω καὶ τὰ ἐπίγεια μιμοῦνται. καὶ γὰρ τετράμορφα ζῷα ἀντιφωνητικῶς ἀλλήλων ἀντιδεχόμενα βοῶσι, τὸ μὲν πρῶτον ζῷον τὸ εἰς ὁμοίωμα λέοντος βοᾷ **Ἅγιος**· τὸ δὲ τέταρτον τὸ εἰς ὁμοίωμα ἀνθρώπου βοᾷ **Κύριος σαβαώθ**· τὸ δὲ δεύτερον ⟨τὸ⟩ εἰς ὁμοίωμα μόσχου βοᾷ **Ἅγιος**· τὸ δὲ τρίτον τὸ εἰς ὁμοίωμα ἀετοῦ βοᾷ **Ἅγιος**· ⟨ἐν⟩ τρισὶν ἁγιασμοῖς εἰς μίαν συνιοῦσι κυριότητα [καὶ] δύναμιν καὶ θεότητα, καθὼς Ἡσαΐας ⟨ὁ προφήτης⟩ τεθέαται ὅτε εἶδεν τὸν Κύριον ἐπὶ θρόνου ὑψηλοῦ ⟨καὶ ἐπηρμένου⟩ καὶ τὰς σεραφικὰς δυνάμεις κύκλῳ ἑστῶσας καὶ ἐκ τῆς φωνῆς ἐπλήσθη ὁ οἶκος καπνοῦ· τότε ἀπεστάλη ἓν τῶν σεραφὶμ καὶ ἔλαβεν ἄνθρακα ἐν τῇ χειρὶ ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου· σημαίνει τὸν ἱερέα καὶ αὐτὸν κατέχοντα τὸν νοερὸν ἄνθρακα Χριστὸν τῇ λαβίδι τῆς χειρὸς αὐτοῦ ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ καὶ ἁγιάζοντα καὶ καθαίροντα τοὺς δεχομένους καὶ μεταλαμβάνοντας. καὶ γὰρ εἰς οὐράνια καὶ ἀχειροποίητα [καὶ] ἅγια εἰσῆλθεν ὁ Χριστὸς καὶ ἐνεφανίσθη ἐν δόξῃ [τῷ προσώπῳ] τοῦ Θεοῦ καὶ Πατρὸς ὑπὲρ ἡμῶν γενόμενος ἀρχιερεὺς μέγας διεληλυθὼς τοὺς οὐρανούς· καὶ ἔχομεν αὐτὸν παράκλητον πρὸς τὸν Πατέρα καὶ ἱλασμὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ⟨ὡς καταρτισάμενον ἡμῖν τὸ ἅγιον καὶ τίμιον αὐτοῦ σῶμα λύτρον ὑπὲρ πάντων⟩ καθὼς αὐτὸς λέγει Πάτερ ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι καὶ θέλω ἵνα

5–8. *Litt. E. & W.* 323 sq. 7. Ps. lxxix 7 9. Ps. cxvii 25 15–17. *Litt. E. & W.* 323 19–23. Isa. vi 1, 2, 4, 6 25. Heb. ix 24 26. Heb. vi 20, iv 14 27. 1 Io. ii 1 29. S. Mt. xx 28, S. Io. xvii 11, 17, 19, 24, 23, 24

2. ἀϊδιότητα] *ἰδιότητα* P$^2$: proprietatem 4. **ἐπισκιάζοντα . . . σεραφὶμ**] *ἐπισκιάζοντα τὰ σεραφὶμ* P$^2$: *ἐπισκιαζόντων τῶν δὲ σεραφὶμ* M$^1$: obumbrantes et seraphim 5. **τὸν ἐπινίκιον . . . βοᾷ**] P$^2$: triumphalem . . . clamat ᾀδόντων] clamantes 10. de diaconibus rhipizantibus 12. **περιφέρειαν**] ambitus 13. **καὶ**] P$^2$: et 14. **ἀλλήλων ἀντιδεχόμενα**] inuicem respondentia 15. **τὸ δὲ τέταρτον . . . σαβαώθ**] *legitur post τὸ δὲ τρίτον . . . ἅγιος* P$^2$ lat. 16. **τὸ**] M$^1$ 17. **ἐν**] P$^2$: in 18. **συνιοῦσι**] concurrentem **ὁ προφήτης**] P$^2$: propheta 19. **καὶ ἐπηρμένου**] P$^2$: et eleuatum 21. **τότε**] *τὸ δὲ* P$^2$: illud uero quod 28. **ὡς καταρτισάμενον . . . πάντων**] P$^2$: + *ἡμῶν* M$^1$: qui perfecit nobis proprium suum et sanctum corpus redemptionem pro omnibus nobis 30. **ᾧ**] *οὓς* P$^2$: quos

ὦσιν ὅπου εἰμὶ ἐγὼ καὶ θεωρῶσι τὴν δόξαν τὴν ἐμήν, ὅτι ἠγάπησας αὐτοὺς καθὼς ἐμὲ ἠγάπησας ⟨πρὸ καταβολῆς κόσμου.⟩

[Εἶτα ὁ ἱερεὺς ἀπαγγέλλει τῷ Θεῷ καὶ Πατρὶ τὰ τῆς Χριστοῦ ἐνανθρωπήσεως μυστήρια, τὴν ἐξ ἁγίας παρθένου καὶ θεοτόκου ἀνέκφραστον καὶ ἔνδοξον γέννησιν, τὴν ἀναστροφὴν καὶ ἐμπολίτευσιν τὴν ἐν κόσμῳ, τὴν σταύρωσιν, τὸν θάνατον, τὴν ἐν τῷ ᾅδῃ κατάβασιν, τὴν τῶν δεσμίων ψυχῶν δι' αὐτοῦ ἐλευθερίαν, τὴν ἐκ νεκρῶν τριήμερον καὶ ἁγίαν αὐτοῦ ἀνάστασιν, τὴν ἐν τοῖς οὐρανοῖς ἀνάληψιν, τὴν ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ Πατρὸς καθέδραν, τὴν δευτέραν καὶ μέλλουσαν αὐτοῦ ἔνδοξον παρουσίαν πάλιν πρὸς ἡμᾶς· καὶ μυσταγωγεῖται γαστέρα Θεὸν ἀγέννητον, τουτέστι τὸν Θεὸν καὶ Πατέρα, γαστέρα πρὸ ἑωσφόρου καὶ πρὸ αἰώνων τὸν Υἱὸν γεννῶσαν, καθὼς λέγει Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. ὅνπερ καὶ παρακαλεῖ τελειῶσαι τὸ μυστήριον τοῦ Υἱοῦ αὐτοῦ, καὶ γενηθῆναι ἤτοι μεταποιηθῆναι τὸν ἄρτον καὶ τὸν οἶνον εἰς σῶμα καὶ αἷμα αὐτοῦ Χριστοῦ καὶ Θεοῦ· καὶ πληρωθήσεται τὸ Ἐγὼ σήμερον γεγέννηκά σε.]

[Περὶ τοῦ ἁγίου Πνεύματος.

Ὅθεν καὶ τὸ ἅγιον Πνεῦμα τῇ εὐδοκίᾳ τοῦ Πατρὸς καὶ βουλήσει τοῦ Υἱοῦ ἀοράτως παρὸν ὑποδεικνύει τὴν ἐνέργειαν τὴν θείαν καὶ τῇ χειρὶ τοῦ ἱερέως ἐπιμαρτυρεῖ καὶ ἐπισφραγίζει καὶ τελειοῖ τὰ προκείμενα ἅγια δῶρα εἰς σῶμα καὶ αἷμα τοῦ Χριστοῦ καὶ Κυρίου ἡμῶν τοῦ εἰπόντος ὅτι Ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι, ὅπως ὁ τρώγων μου τὸ σῶμα ἐν ἐμοὶ μείνῃ κἀγὼ ἐν αὐτῷ. ὅθεν γενόμενοι θείων μυστηρίων αὐτόπται καὶ μέτοχοι ζωῆς ἀθανάτου καὶ κοινωνοὶ θείας φύσεως δοξάζομεν τὸ μέγα καὶ ἀκατάληπτον καὶ ἀνεξιχνίαστον μυστήριον τῆς οἰκονομίας τοῦ Υἱοῦ τοῦ Θεοῦ· ὅθεν δοξάζοντες βοῶμεν Σὲ ὑμνοῦμεν τὸν Θεὸν καὶ Πατέρα· σὲ εὐλογοῦμεν τὸν Υἱὸν καὶ Λόγον· σοὶ εὐχαριστοῦμεν τῷ ἁγίῳ Πνεύματι· Κύριε ὁ Θεὸς ἡμῶν· τριὰς γὰρ ἐν μονάδι καὶ μονὰς ἐν τριάδι, ὁμοούσιος καὶ ἀδιαίρετος, παράδοξον ἔχουσα καὶ τὴν διαίρεσιν τῶν προσώπων καὶ τὴν ἕνωσιν τῆς μιᾶς φύσεως καὶ θεότητος. καὶ γὰρ τὸ ἐπικεκυφότως ποιεῖν τὸν ἱερέα τὴν θείαν μυσταγωγίαν ἐμφαίνει τὸ συλλαλεῖν ἀοράτως τῷ ἀοράτῳ Θεῷ· ὅθεν καὶ τὴν θείαν ⟨φωτοφάνειαν⟩ ὁρᾷ καὶ τῇ λαμπρότητι τῆς δόξης τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐμφαιδρύνεται καὶ ὑποστέλλει ἑαυτὸν τῷ φόβῳ καὶ τῇ αἰδῷ καθὼς Μωϋσῆς ὅτε εἶδε τὸν Θεὸν ἐν εἴδει πυρὸς ἐν τῷ ὄρει ἔντρομος γενόμενος ἀπέστρεψε καὶ ἐκάλυψε τὸ πρόσωπον αὐτοῦ· εὐλαβεῖτο γάρ, φησί, κατανοῆσαι τῆς δόξης τοῦ Θεοῦ.]

[Περὶ τῶν κεκοιμημένων.

Γίνεται ἡ μνήμη τῶν κεκοιμημένων πρὸς τὸν Θεὸν τῶν πνευμάτων καὶ πάσης σαρκὸς τὸν καὶ νεκρῶν καὶ ζώντων τὴν κυρίαν ἔχοντα καὶ δεσπόζοντα ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ ὡς τοῦ βασιλέως Χριστοῦ παρόντος καὶ τοῦ

5–9. *Litt. S. Bas. & S. Chrys.* (*Litt. E. & W.* 326–329) 10. Ps. cix 3 14. Ps. ii 7 16–19. *Lit. S. Bas.* (*Litt. E. & W.* 329 sq.) 19. S. Io. xvii 19 20. S. Io. vi 56 22. 2 Pet. i 4 24. *Litt. E. & W.* 329 32 sq. Act. vii 32, Ex. iv 6 35. Num. xvi 22 36. Phil. ii 10

2. πρὸ . . . κόσμου] P[2] : ante constitutionem mundi 29. φωτοφάνειαν] P[2] 35. πνευμάτων] *Anc. fonds* 1555 A : πατέρων P[1] P[2]

ἁγίου Πνεύματος πάντας προσκαλουμένου ζῶντας καὶ μεταστάντας ἐνθάδε πρὸς τὰς ἐκεῖθεν μονὰς καὶ καταπαύσεις εἰς τὴν τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ προέλευσιν συναθροισθῆναι καὶ προφθάσαι τὸ πρόσωπον αὐτοῦ καὶ ἀκουτισθῆναι τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ, ὡς πάντων τῶν ἐν ᾅδου ψυχῶν δεσμῶν ἀπολυθέντων διὰ τοῦ θανάτου καὶ τῆς ἀναστάσεως Χριστοῦ· αὐτὸς γὰρ ἐγήγερται ἐκ νεκρῶν ἀπαρχὴ καὶ πρωτότοκος τῶν κεκοιμημένων γενόμενος καὶ πᾶσιν ὁδοποιήσας τὴν ἐκ νεκρῶν ἀνάστασιν καὶ πρὸς τὴν ἀθάνατον καὶ μακαρίαν ζωὴν ἀναπαύων τοὺς ἐπ' ἐλπίδι τῆς ἐγέρσεως αὐτοῦ κεκοιμημένους· καὶ συγκαλοῦνται μετὰ προφητῶν καὶ ἀποστόλων καὶ μαρτύρων καὶ ἱεραρχῶν χριστιανῶν αἱ ψυχαὶ συνελθεῖν καὶ ἀνακλιθῆναι μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ μυστικῇ τραπέζῃ τῆς βασιλείας τοῦ Χριστοῦ.]

61. [Ὅθεν εἰς ἑνότητα πίστεως καὶ κοινωνίαν Πνεύματος ἁγίου ἐλθόντες διὰ τῆς οἰκονομίας τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἐγερθέντος καὶ καθίσαντος ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρὸς οὐκέτι ἐπὶ γῆς ἐσμεν ἀλλ' ἐν τῷ θρόνῳ τοῦ Θεοῦ παρεστηκότες ἐν οὐρανῷ ὅπου ὁ Χριστός ἐστι καθὼς αὐτὸς τῷ Πατρὶ λέγει Πάτερ δίκαιε ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι ἵνα ὅπου εἰμὶ ἐγὼ κἀκεῖνοι ὦσι μετ' ἐμοῦ καὶ θεωρῶσι τὴν δόξαν ἣν δέδωκάς μοι ὅτι ἠγάπησας αὐτοὺς καθὼς ἐμέ. ὅθεν οὖν τὴν υἱοθεσίαν ἀπολαβόντες καὶ συγκληρονόμοι τοῦ Χριστοῦ γενόμενοι, διὰ τῆς χάριτος αὐτοῦ καὶ οὐκ ἐξ ἔργων, ἔχομεν τὸ Πνεῦμα τοῦ Υἱοῦ τοῦ Θεοῦ εἰς τὰς καρδίας ἡμῶν, οὗτινος τὴν ἐνέργειαν καὶ χάριν ὁ ἱερεὺς θεωρῶν βοᾷ καὶ λέγει Ἀββᾶ ὁ Πατὴρ ὁ οὐράνιος **ἀξίωσον ἡμᾶς ἀκατακρίτως μετὰ παρρησίας τολμᾶν ἐπικαλεῖσθαί σε καὶ λέγειν·** ὁ λαὸς βοᾷ **Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου·** τὸ ὄνομά ἐστι τοῦ Υἱοῦ τοῦ Θεοῦ τὸ ἐπικληθὲν ἐφ' ἡμᾶς, Χριστός· ὅθεν καὶ ἡμεῖς χριστιανοὶ καὶ τὸ ὄνομα αὐτοῦ ἐπικέκληται ἡμῖν. **Ἐλθέτω ἡ βασιλεία σου·** ἡ βασιλεία τοῦ Θεοῦ τὸ ἅγιον Πνεῦμά ἐστιν ὡς λέγει Ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστι· τῷ Πνεύματι τῷ ἁγίῳ σὺν Πατρὶ καὶ Υἱῷ τὸ βασιλεύειν πέλει, τὸ ἁγιάζον καὶ φωτίζον τὰς νοερὰς καὶ ἀγγελικὰς στρατιὰς καὶ πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον καὶ πιστεύοντα εἰς τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ. **Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς·** τὸ θέλημα τοῦ †Υἱοῦ† καὶ Πατρὸς οἰκονομία τοῦ Υἱοῦ ἐστιν. **Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον·** ὁ ἄρτος ὁ ἐπιούσιός ἐστιν ὁ Χριστὸς ὁ ὢν καὶ προὼν καὶ ὁ μέλλων, ὁ ἀδαπάνητος καὶ ἀεὶ διαμένων καὶ διδοὺς ζωὴν τῷ κόσμῳ. ὃν διὰ βαπτίσματος δεξάμενοι τοῦτον λαβεῖν πάντοτε αἰτούμεθα. **Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα** καὶ πταίσματα ἡμῶν.]

**⟨Ἡ δὲ παναγία τε καὶ σεπτὴ τοῦ μεγάλου καὶ μακαρίου Θεοῦ [καὶ Πατρὸς]**

3. Ps. xciv 2, lxv 9 6. 1 Cor. xv 20, Apoc. i 5 : *Lit. S. Bas.* (*Litt. E. & W.* 327) 10. S. Mt. vii 11 12. Eph. iv 13, 2 Cor. xiii 14 13. 1 Th. v 10, Rom. viii 34 15. Col. iii 1, S. Io. xvii 25, 16, 11, 24, 23 18. Gal. iv 5, Rom. viii 17 19. Eph. ii 8 sq., Gal. iv 6 21–34. *Litt. E. & W.* 339 23. S. Ia. ii 7 24. Ier. xiv 9 26. S. Lc. xvii 21 28. S. Io. i 9, iii 18 32. S. Io. vi 33 35 sqq. S. Maximus *Mystag.* 20

30. **υἱοῦ**] *leg.* θεοῦ 35. *tit.* cuius sit symbolum oratio dominica 35 sqq. **ἡ δὲ παναγία . . . ἐφαίδρυναν**] praeterea sancta . . . splendidos reddiderunt

ἐπίκλησις τῆς δοθησομένης ἐνυποστάτου τε καὶ ἐνυπάρκτου κατὰ δωρεὰν καὶ χάριν τοῦ ἁγίου Πνεύματος υἱοθεσίας ἐστὶ σύμβολον· καθ' ἥν, πάσης ὑπερνικωμένης τε καὶ καλυπτομένης ἀνθρωπίνης ἰδιότητος τῇ ἐπιφοιτήσει τῆς χάριτος, υἱοὶ Θεοῦ χρηματίσουσί τε καὶ ἔσονται πάντες οἱ ἅγιοι ὅσοι [δι' ἀρετῶν] ἀπεντεῦθεν ἤδη τῷ θείῳ τῆς ἀγαθότητος κάλλει ἑαυτοὺς λαμπρῶς τε καὶ ἐπιδόξως ἐφαίδρυναν.⟩

62. [*Εἶτα ὁ ἱερεὺς βοᾷ τοῖς πᾶσι καὶ λέγει ὅτι* Ἐγὼ ἄνθρωπός *εἰμι* ὁμοιοπαθὴς *ὑμῶν· βλέπετε θεωρεῖτε· ἰδοὺ ὁ Χριστὸς καὶ Θεός ἐστιν* ὁ ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος. *ὁ λαὸς ὁμολογεῖ καὶ λέγει* **Εἷς ἅγιος** *καὶ Θεὸς ἀναμάρτητος* ὁ Κύριος *ἡμῶν* Ἰησοῦς Χριστὸς *σὺν Θεῷ Πατρὶ καὶ ἁγίῳ Πνεύματι·* αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.]

⟨Ἡ δὲ κατὰ τὸ τέλος τῆς μυστικῆς ἱερουργίας παρὰ παντὸς τοῦ λαοῦ γινομένη τοῦ Εἷς ἅγιος καὶ τῶν ἑξῆς ὁμολογία τὴν ὑπὲρ λόγον καὶ νοῦν πρὸς τὸ ἓν τῆς θείας ἁπλότητος κρύφιον γενησομένην τῶν μυστικῶς τε καὶ σοφῶς κατὰ Θεὸν τετελεσμένων συναγωγήν τε καὶ ἕνωσιν δηλοῖ ἐν τῷ ἀφθάρτῳ τῶν νοητῶν αἰῶνι, καθ' ὃν τῆς ἀφανοῦς καὶ ὑπεραρρήτου δόξης τὸ φῶς ἐνοπτεύοντες τῆς μακαρίας μετὰ τῶν ἄνω δυνάμεων καὶ αὐτοὶ δεκτικοὶ γίνονται καθαρότητος.⟩ ⟨Μεθ' ἣν ὡς τέλος πάντων ἡ τῶν μυστηρίων Μετάδοσις γίνεται, μεταποιοῦσα πρὸς ἑαυτὴν καὶ ὁμοίους τῷ κατ' αἰτίαν Ἀγαθῷ κατὰ χάριν καὶ μέθεξιν ἀποφαίνουσα τοὺς ἀξίως μεταλαμβάνοντας, ἐν μηδενὶ αὐτοῦ λειπομένους κατὰ τὸ [ἐφικτὸν] ἀνθρώποις [καὶ] ἐνδεχόμενον· ὥστε καὶ αὐτοὺς δύνασθαι εἶναί τε καὶ καλεῖσθαι θέσει κατὰ τὴν χάριν θεούς, διὰ τὸν αὐτοὺς ὅλως πληρώσαντα ὅλον Θεὸν καὶ μηδὲν αὐτῶν τῆς αὐτοῦ παρουσίας κενὸν καταλείψαντα.⟩

63. ⟨Κοινωνία κέκληται ἡ τῶν θείων μυστηρίων μετάληψις διὰ τὸ τὴν πρὸς Χριστὸν ἡμῖν χαρίζεσθαι ἕνωσιν καὶ κοινωνοὺς ἡμᾶς τῆς αὐτοῦ ποιεῖν βασιλείας.⟩

[*Ὁ μὲν Μωϋσῆς* αἷμα ἐρράντισε τῶν τράγων καὶ μόσχων τῷ λαῷ λέγων Τοῦτο ⟨τὸ⟩ αἷμα τῆς διαθήκης *τοῦ Θεοῦ ἐστιν· ὁ δὲ Χριστὸς καὶ Θεὸς τὸ ἴδιον σῶμα ἔδωκε καὶ τὸ ἴδιον αἷμα ἐξέχεε καὶ ἐκέρασε ⟨τὸ ποτήριον⟩ τῆς καινῆς διαθήκης λέγων* Τοῦτό ἐστι τὸ σῶμά μου *καὶ* τὸ αἷμά μου τὸ κλώμενον *καὶ διαρραντιζόμενον* εἰς ἄφεσιν ἁμαρτιῶν· *ὥστε* ὁσάκις ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε τὸν θάνατον **καὶ τὴν ἀνάστασίν** ⟨*μου*⟩ **ὁμολογεῖτε.**]

7. S. Iac. v 17 8. Isa. lvii 15. 9 sq. *Litt. E. & W.* 341 10. Rom. xi 36 12–23. S. Maximus *Mystag.* 21 24–25. S. Isid. Pel. *Epp.* i 228 26. Heb. ix 19 sq., Ex. xxiv 6–8 29. 1 Cor. xi 24, S. Mt. xxvi 27 sq. 30. 1 Cor. xi 26 31. *Lit. S. Bas.* (*Lit. E. & W.* 328)

12. *tit.* quid significet finis mysticae missae, id est cum exclamatur *unus sanctus* et caetera: sancti Maximi 12–23. ἡ δὲ κατὰ . . . καταλείψαντα] confessio autem . . . inane reliquit 24. *tit.* quare dicatur communio 24–25. κοινωνία . . . βασιλείας] porro communio . . . regni communicatores 27. τὸ] P² 28. τὸ ποτήριον] M¹ 31. μου] M¹

[NOTE.—The above text is only provisional. I cannot guarantee its accuracy in detail, since the collations were of necessity hurriedly made, and the MSS used are written with such singular carelessness that sense can be made of them only by very free emendation. But the present text is sufficient to indicate the contents of the treatise and the character of Anastasius's original.]

F. E. BRIGHTMAN.